2 Schol. Hom. *Od.* 14. 228; Sext. Emp. *adv. math.* 11. 44; Clem. *Strom.* 6. 7. 3.

**26** P. Oxy. 2310 fr. 1 col. ii (initia versuum xv); Macr. *Sat.* 1. 17. 10

ὦναξ Ἄπολ⌊λον, καὶ σὺ τοὺς μὲν αἰτίους
πήμαινε ⌊καί σφας ὄλλυ' ὥσπερ ὀλλύεις,
ἡμέα̣ς̣ δε̣ .[

**30 sqq.** De Lycambae filiabus

Dioscorides epigr. 17 (*Anth. Pal.* 7. 351)

οὐ μὰ τόδε φθιμένων σέβας ὅρκιον αἵδε Λυκάμβεω
αἳ λάχομεν στυγερὴν κληδόνα θυγατέρες
οὔτε τι παρθενίην ᾐσχύναμεν οὔτε τοκῆας
οὔτε Πάρον, νήσων αἰπυτάτην ἱερῶν,
ἀλλὰ καθ' ἡμετέρης γενεῆς ῥιγηλὸν ὄνειδος
φήμην τε στυγερὴν ἔφλυσεν Ἀρχίλοχος.
Ἀρχίλοχον μὰ θεοὺς καὶ δαίμονας οὔτ' ἐν ἀγυιαῖς
εἴδομεν οὔθ' Ἥρης ἐν μεγάλῳ τεμένει·
εἰ δ' ἦμεν μάχλοι καὶ ἀτάσθαλοι, οὐκ ἂν ἐκεῖνος
ἤθελεν ἐξ ἡμέων γνήσια τέκνα τεκεῖν.

Cf. Meleagri (?) epigr. 132 (*Anth. Pal.* 7. 352).

**30** Ps.-Ammonius *de adfin. vocab. diff.* 431 (p. 111 Nickau)

ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο
ῥοδῆς τε καλὸν ἄνθος.

1 Schol. Theoc. 4. 45; 2 Ath. (epit.) 52f.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/44 UNIVERSITÄT LEIPZIG